www.tezaurliturgic.ro



# ΕΓΚΩΜΙΑ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΝΙΚΟΛΑΟΝ ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

### ΣΤΑΣΙΣ ΠΡΩΤΗ Ἦχος πλ. α΄.

Μακαρίζομέν σε, ἱερέων χορός, τῶν Μυρέων τόν σοφόν Ἀρχιποίμενα, καί ὑμνοῦμέν σε Νικόλαε πιστῶς.

Μακαρίζομέν σε, ὀρφανῶν καί χηρῶν, τόν τρισμέγιστον προστάτην, Νικόλαε, καί τήν μνήμην σου τελοῦμεν εὐλαβῶς.

**Ἡ ἀκροστιχίς κατ' ἀλφάβητον.**

Ἀνελθών εἰς ὄρος, θεουργῶν ἀρετῶν, ἐμυήθης τοῦ Θεοῦ τά ἀπόῤῥητα, καί τοῖς πᾶσι διετράνωσας σαφῶς.

Βασιλείας Πάτερ, οὐρανῶν καί χαρᾶς, τῆς ἀλήκτου ἠξιώθης Νικόλαε, ἧς ἀξίωσον εὐχαῖς σου καί ἡμᾶς.

Γαληνόν λιμένα, κεκτημένοι σοφέ, οἱ θαλάσσαις τρικυμίαις ποντούμενοι, ἐπικλήσει διασώζονται τῇ σῇ.

Δεῦτε φιλεόρτων, Ὀρθοδόξων πληθύς, εὐφημήσωμεν τήν μνήμην τήν πάντιμον, Νικολάου Ἱεράρχου τοῦ κλεινοῦ.

Ἔχοντές σε πρέσβυν, πρός Χριστόν τόν Θεόν, ἐκλυτρούμεθα κινδύνων καί θλίψεων, ὦ Νικόλαε πατέρων καλλονή.

Ζήσας θεαρέστως, καί ποιμάνας καλῶς, τήν σήν ποίμνην, τόν ἀμάραντον στέφανον, ἐκ Κυρίου ἐκομίσω ἀληθῶς.

Ἡ πληθύς ὁρῶσα, εὐπατρίδων τῶν σῶν, ὦ Νικόλαε λαμπρά κατορθώματα, ἐξελέξατο ποιμένα ἑαυτῆς.

Θείᾳ σου σοφίᾳ, Ἱεράρχα σοφέ, τόν ληρώδη ἀπεστόμωσας Ἄρειον, καί Τριάδα ἀνεκήρυξας τρανῶς.

Ἱκεσίας Πάτερ, μή παρίδῃς ἡμῶν, τῶν ἀχρείων ἱκετῶν σου Νικόλαε, ἀλλά πρόσδεξαι καί πλήρωσον ταχύ.

Κύκλῳ παρεστῶτες, τῆς εἰκόνος τῆς σῆς, δυσωποῦμέν σε. Νικόλαε πρόφθασον, καί διάσωσον ἡμᾶς ἐκ συμφορῶν.

Λάμπουσιν ὁ βίος, οἱ ἀγῶνες οἱ σοί, εἰς αἰῶνας τῶν αἰώνων Νικόλαε, καί μεγίστων σου θαυμάτων ἡ πληθύς.

Μέγας ἀνεδείχθης, τῶν Μυρέων ποιμήν, καί ὀσμαῖς τῶν μυριπνόων λογίων σου, εὐωδίασας καρδίας τῶν πιστῶν.

Νικολάου δέχου, τάς εὐχάς ὁ Θεός, καί ἡμᾶς παντοίων νόσων ἀπάλλαξον, ἐξαιρέτως δέ καρκίνου τοῦ δεινοῦ.

Ξόανα τῆς πλάνης, σαῖς εὐχαῖς καθελών, πρός Χριστοῦ δόξαν καί αἶνον Νικόλαε, ᾠκοδόμησας Ναούς πνευματικούς.

www.tezaurliturgic.ro



Ὅλος παιδιόθεν, συνεκράθης Χριστῷ, καί χιτῶνα ἐνδυθείς ταπεινώσεως, ἀνυψώθης ἕως τρίτου οὐρανοῦ.

Πνεύματος Ἁγίου, τῶν χαρίτων πλησθείς, ὤφθης πρᾶος, ἐγκρατής καί μακρόθυμος, ἀγαθός, χρηστός, πιστός, εἰρηνικός.

Ῥᾶνον οὐρανόθεν, τῶν χαρίτων τῶν σῶν, σταλαγμούς εἰς τάς καρδίας τῶν δούλων σου, ἐκτακείσας τῇ φλογί τῶν πειρασμῶν.

Στόμα σου τό θεῖον, ὡς φησί Σολομών, ὑπερκόσμιον σοφίαν ἐλάλησε, καί κατηύγασε καρδίας τῶν βροτῶν.

Τῶν πενήτων ὤφθης, ἱλαρός χορηγός, ἀσθενούντων ἰατρός ἐμπειρότατος, καί μεσίτης πρός τόν Κύριον θερμός.

Ὕπνωσας παμμάκαρ, ἐν τῇ γῇ ὡς θνητός, ἀλλά ζῇς ἐν οὐρανοῖς ὦ Νικόλαε, εὐφραινόμενος τόν Κύριον ὁρῶν.

Φάρος ἀνεδείχθης, φωτοφόρος λαμπρός, τοῦ Χριστοῦ τῆς Ἐκκλησίας Νικόλαε, καταυγάζων τάς καρδίας τῶν πιστῶν.

Χαίροις τῶν πενήτων, ὀρφανῶν καί χηρῶν, ἀντιλήπτωρ καί προστάτα Νικόλαε, καί πλεόντων κυβερνῆτα καί σωτήρ.

Ψάλλοντες ἐν πίστει, ὑμνῳδίας σοφέ, ἐν τῇ μνήμῃ σου Θεόν μεγαλύνομεν, τόν δοξάσαντα αὐτήν σεμνοπρεπῶς.

Ὡς ἐρρύσω Πάτερ, ἐκ θανάτου πικροῦ, τρεῖς ἀθώους στρατηλάτας τυγχάνοντας, οὕτω μάκαρ καί ἡμᾶς ἐκ συμφορῶν.



Δόξα Πατρί...

Πάτερ, Λόγε, Πνεῦμα, τρισαγία Τριάς, Νικολάου τοῦ κλεινοῦ σου θεράποντος, ἱκεσίαις δίδου πᾶσιν ἱλασμόν.

Καί νῦν...

Δώρησαι εἰρήνην, ἐν τῷ κόσμῳ παντί, ἱκεσίαις τῆς Μητρός σου Φιλάνθρωπε. Σύ γάρ πέλεις τῆς εἰρήνης βασιλεύς.

**ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ Ἦχος πλ. α΄.**

Ἄξιόν ἐστι, τόν φωστῆρα ἐν Ἀρχιερεῦσι, καί ἐν ἀρεταῖς περιβόητον, μεγαλύνειν σε Νικόλαε σεπτῶς.

Ἄξιόν ἐστι, τόν τῆς χάριτος Ἱερομύστην, Μύρων τῆς Λυκίας τόν Πρόεδρον, ὦ Νικόλαε γεραίρειν σε λαμπρῶς.

**Ἡ ἀκροστιχίς κατ' ἀλφάβητον.**

Ἄγγελοι σοφέ, ἐν τῇ μνήμῃ σου χοροστατοῦσι, καί πιστῶν τά πλήθη Νικόλαε, ἐπαγάλλονται ἀεί πνευματικῶς.

Βλέπων ἀκλινῶς, τό ἐπίμονον γνώμης Ἀρείου, χεῖρα ἐναντίον του ὕψωσας, τήν Τριάδα προασπίζων σθεναρῶς.

Γέγονας σωτήρ, τῶν ἀδίκως καταδικασθέντων, ἐπιστάς κατ' ὄναρ Νικόλαε, Ἀβλαβίῳ ὅν διήλεγξας σφοδρῶς.

Δόξης ἀκραιφνοῦς, ἠξιώθης καί ἀθανασίας, πάτερ Ἱεράρχα Νικόλαε, τῷ Χριστῷ εὐαρεστήσας ἔτι ζῶν.

www.tezaurliturgic.ro



**Ε**μπλησον χαράς, εὐφροσύνης καί ἀγαθωσύνης, τούς σέ ἀνυμνοῦντας Νικόλαε, καί δοξάζοντας τόν Κύριον θερμῶς.

**Ζ**άλη συμφορῶν, καί κλυδώνιον ἁμαρτημάτων, νῦν ἡμᾶς συνέχει Νικόλαε, σπεῦσον σῶσον ἡμᾶς θείαις σου εὐχαῖς.

**Η**ρθης ἀπό γῆς, πρός σκηνάς ἐπουρανίους ἔνθα, κάλλος καθορᾶς τό ἀνέκφραστον, τοῦ Κυρίου, Ὅν ἱλέωσαι ἡμῖν.

**Θ**είων δωρεῶν, ὧν ἀνάπλεως Ἱερομύστα, Ἅγιε παμμάκαρ Νικόλαε, ἀνεδείχθης παμφαής θαυματουργός.

**Ι**θυνον ἡμᾶς, πρός λιμένα σωτηρίας Πάτερ, θείαις σου πρεσβείαις Νικόλαε, κινδυνεύοντας πελάγει τῶν παθῶν.

**Κ**άλλος τῆς ψυχῆς, ὡραιότητα καί εὐκοσμίαν, ἐμαρτύρει Πάτερ Νικόλαε, ἡ φαιδρότης τοῦ προσώπου σου σοφέ.

**Λ**αίλαψ πειρασμῶν, νῦν ἐκύκλωσεν ἡμᾶς σούς δούλους, σπεῦσον Ἱεράρχα Νικόλαε, καταπράϋνον αὐτήν σαῖς προσευχαῖς.

**Μ**νήσθητι σοφέ, μοχθησάντων ἀνοικοδομῆσαι, ὅσιε τρισμάκαρ Νικόλαε, τόν περίκλυτον καί θεῖόν σου Ναόν.

**Ν**έος Ἀβραάμ, ὦ Νικόλαε ἐναπεφάνθης, τρόποις τοῖς ἐκείνου ἑπόμενος· διό Πάτερ εὐλογήθης ἐκ Θεοῦ.

**Ξ**ίφος αἰχμηρόν, ὄντως δίστομον ὤφθης συγκόπτων, Πάτερ Ἱεράρχα Νικόλαε, τῶν ἀθέων τάς αἱρέσεις καί βουλάς.



**Ο**λος ἁγνισθείς, ἰσαγγέλῳ πολιτείᾳ Πάτερ, ὤφθης μυροθήκη τοῦ Πνεύματος, καί τῶν μύρων σου ἐνέπλησας ἡμᾶς.

**Π**λοῦτον ἀληθῶς, τόν φθειρόμενον διασκορπίσας, ἐν χερσί πενήτων ἐκέρδησας, μαργαρίτην τόν πολύτιμον Χριστόν.

**Ρ**ῦσαι σαῖς λιταῖς, ἐξ αἱρέσεων τόν κόσμον ὅλον, Πίστιν τήν Ὀρθόδοξον στήριξον, καί εὐλόγησον ἡμᾶς υἱοπρεπῶς.

**Σ**άλος μιαρῶν, λογισμῶν καί θλίψεων τρισμάκαρ, νῦν καταποντίζει Νικόλαε, δός μοι χεῖρα βοηθείας σωστικήν.

**Τ**ύπον ἀρετῆς, καί κανόνα εὐσεβείας Πάτερ, ἔχοντές σε θεῖε Νικόλαε, πρός οὐράνιον ἀγόμεθα ζωήν.

**Υ**ψωσον σοφέ, πρός τόν Ἄναρχον Θεόν τάς χεῖρας, καί θερμῶς αὐτόν ἐκδυσώπησον, ὑπέρ πάντων τῶν ὑμνούντων σε θερμῶς.

**Φ**έγγους ἱλαροῦ, ἐμφορούμενος τίμιε Πάτερ, τῷ τρισσολαμπεῖ φωτί παριστάμενος, καταυγάζεις τάς ψυχάς τῶν εὐσεβῶν.

**Χ**αίρουσι φαιδρῶς, αἱ χορεῖαι τῶν Ἀρχιερέων, ἐν ἐπουρανίοις Νικόλαε, συμπολίτην σε ὁρῶσαι φαεινόν.

**Ψ**ήφῳ τοῦ Χριστοῦ, τῶν Μυρέων τῆς Λυκίας μάκαρ, ἄξιος ποιμήν ἀναδέδειξαι, καί ἐποίμανας αὐτήν θεοπρεπῶς.

**Ω**ς περιστερά, ἀκεραία καί λευχειμονοῦσα, πρός τόν Πλάστην πάντων ἐπέτασας, Ὅν δυσώπει διασώζεσθαι ἡμᾶς.

www.tezaurliturgic.ro



Δόξα Πατρί...

**Α**ναρχε Τριάς, Νικολάου θείαις ἱκεσίαις, ἅπαντα τόν κόσμον εἰρήνευσον, καί παράσχου τά ἐλέη σου ἡμῖν.

Καί νῦν...

**Λ**ύτρωσαι ἡμᾶς, ἐξωτέρου σκότους καί γεέννης, θείαις σου δεήσεσι Πάναγνε, πρός Ὅν ἔτεκες Θεόν ὑπερφυῶς.

## ΣΤΑΣΙΣ ΤΡΙΤΗ

**Α**ἱ γενεαί πᾶσαι, μακαρίζομέν σε, Νικόλαε παμμάκαρ.

**Α**ἱ γενεαί πᾶσαι, σέ ὕμνοις ἐγκωμίων, Νικόλαε ὑμνοῦσιν.

**Ἡ ἀκροστιχίς κατ' ἀλφάβητον.**

**Α**γγέλοις ὡμοιώθης, Νικόλαε βιώσας, ὡς ἄϋλος ἐν κόσμῳ.

**Β**αβαί! τῶν τεραστίων, Νικόλαε θαυμάτων, δι' ὧν ἡμᾶς λυτροῦσαι.

**Γ**αλήνιος καί πρᾶος, ὑπάρχων μετετέθης, ἐν χώρᾳ τῶν πραέων.

**Δ**ίωξον τά νέφη, τῆς ἀθεΐας Πάτερ, τῇ αὔρᾳ τῶν εὐχῶν σου.

**Ε**ν μέσῳ τῆς συνόδου, Ἄρειον καθεῖλες, Νικόλαε σοῖς λόγοις.

**Ζ**ωῆς ὑπερκοσμίου, Νικόλαε εὐχαῖς σου, ἀξίωσον σούς δούλους.

**Η**λίου φαιδροτέρα, ἡ μνήμη σου ἐκλάμπει, καί πάντας καταυγάζει.



**Θ**εῖόν σε ποιμένα, Θεοῦ ὁ θεῖος Λόγος, ἀνέδειξεν ἐν Μύροις.

**Ι**κετεύομέν σε, Νικόλαε τρισμάκαρ, ῥῦσαι ἡμᾶς κινδύνων.

**Κ**ινδύνων πολυτρόπων, λυτρούμεθα εὐχαῖς σου, καί πάσης τρικυμίας.

**Λ**αοί, φυλαί καί γλῶσσαι, σέ ἀνευφημοῦσι, Νικόλαε τρισμάκαρ.

**Μ**ύρον ἀναβρύει, Νικόλαε εὐῶδες, τό θεῖον λείψανόν σου.

**Ν**ικόλαε εὐχαῖς σου, ῥῦσαι τήν Ἑλλάδα, αἱρέσεων παντοίων.

**Ξ**ένος ὢν τοῦ κόσμου, ξενίζεις τῷ Κυρίῳ, ἡμᾶς τούς ξενωθέντας.

**Ο**λῃ προθυμίᾳ, ἡ Ὀρθοδοξία, τήν μνήμην σου γεραίρει.

**Π**ρόφθασον καί σῶσον, τούς ἐν τρικυμίαις, δεινῶς χειμαζομένους.

**Ρ**ῶσιν καί ὑγείαν, Νικόλαε παράσχου, τοῖς σέ ὑμνολογοῦσιν.

**Σ**ῶσον ἡμᾶς Σῶτερ, εὐχαῖς τοῦ Νικολάου, βυθοῦ τῆς ἁμαρτίας.

**Τ**ρεῖς ὀρφανάς ἐῤῥύσω, τῆς ἀκολασίας, τοῖς θείοις οἰκτιρμοῖς σου.

**Υ**μνοις παννυχίοις, καί ᾄσμασιν ἐνθέοις, τήν μνήμην σου τελοῦμεν.

**Φ**ωστήρ τῆς Ἐκκλησίας, Νικόλαε ἐδείχθης, καί τῶν πατέρων κλέος.

**Χ**ριστοῦ τάς Μυροφόρους, Πάτερ μιμηθέντες, προσφέρομέν σοι μύρα.

www.tezaurliturgic.ro



Ψάλλων σύν ἀγγέλοις, Νικόλαε τούς ὕμνους, ἡμῶν μή ἐπιλάθου.

Ως Θεός ἐδέχθη, Νῶε τάς θυσίας, δέχου ἡμῶν τούς ὕμνους.

Δόξα Πατρί...

Τριάς ἡ ἐν Μονάδι, λιταῖς τοῦ Νικολάου, διάσωσον τόν Κόσμον.

Καί νῦν...

Εἰρήνην ἐκκλησίαις, δώρησαι Παρθένε, εὐχαῖς πρός τόν Υἱόν σου.

## ΕΥΛΟΓΗΤΑΡΙΑ

Εὐλογητός εἶ, Κύριε, δίδαξόν με Νικόλαον ὑμνῆσαι.

Ἀσωμάτων αἱ τάξεις, καί ἀνθρώπων ὁρῶσαι, κατεπλάγησαν μάκαρ, σήν ἁγίαν βιοτήν, τῶν θαυμάτων τά πλήθη, καί τήν πρός Χριστόν παρρησίαν Ἅγιε. Ὅν δυσώπει σῶσαι τούς εὐφημοῦντάς σε.

Εὐλογητός εἶ, Κύριε, δίδαξόν με τόν Ἱεράρχην μέλψαι.

Τούς προστρέχοντας πόθῳ, σῇ πανσέπτῳ εἰκόνι, καί δακρύοντας πίστει, διασώζεις συμφορῶν, τρικυμίας καί ζάλης· Ὅθεν καί ἡμεῖς θερμῶς ἐκβοῶμέν σοι· βοηθός ἡμῖν γενοῦ Ἅγιε Νικόλαε.

Εὐλογητός εἶ, Κύριε, δίδαξόν με Νικόλαον δοξάσαι.



Λίαν θερμῶς, ἐν Νικαίᾳ ἔδραμεν, ὁ Νικόλαος ἐν τῇ Συνόδῳ, καί Ἀρείου τάς βουλάς, τάς ἀθέους καθεῖλε, τοῦ Υἱοῦ τρανώσας τό ὁμοούσιον, Ὅν αἰτεῖται ῥυσθῆναι τῶν αἱρέσεων.

Εὐλογητός εἶ, Κύριε, δίδαξόν με τόν Ἱεράρχην μέλψαι.

Μυροθήκη ὑπάρχων, οὐρανίων χαρίτων, ὁ Θεός μετά πότμον, μύρον θεῖον καί τερπνόν, ἐκ τοῦ σκήνους σου βρύει, τῇ ὀσμῇ δέ τούτου ἀποδιώκονται, τῶν δαιμόνων τά στίφη εἰς πῦρ αἰώνιον.

Δόξα Πατρί...

Ἀνυμνοῦμεν Πατέρα, προσκυνοῦμεν τόν Λόγον, καί τό Ἅγιον Πνεῦμα, τό τρισήλιον κράτος, ἐν μιᾷ ἐξουσίᾳ, σύν ταῖς στρατιαῖς τῶν ἀγγέλων μέλποντες· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

Καί νῦν...

Μητροπάρθενε Κόρη, ἡ τεκοῦσα ἀφράστως, τόν Θεοῦ θεῖον Λόγον, καθικέτευε τοῦτον, σύν σεπτῷ Νικολάῳ, ῥύσασθαι ἡμᾶς πειρασμῶν καί θλίψεων, καί δοθῆναι λύσιν ὧνπερ ἡμάρτομεν.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, δόξα σοι ὁ Θεός. (Τρίς).

**Ἀπρίλιος 1975**

Ἀρχιμ. Πολύκαρπος Κόμης

Ὑμνογράφος

www.tezaurliturgic.ro

# ΕΓΚΩΜΙΑ ΚΑΤ᾽ ΑΛΦΑΒΗΤΟΝ ΕΙΣ ΣΤΑΣΕΙΣ ΤΡΕΙΣ

## ΣΤΑΣΙΣ Α΄.

*Ἦχος πλ.α΄. Ἡ ζωὴ ἐν τάφῳ.*

Ἡ ζωὴ τῶν ὅλων,
ὁ Δεσπότης Χριστός,
σέ, Νικόλαε, μεγάλως ἐδόξασε,
καὶ βιοῦντα καὶ μετὰ θανήν.

Ἄσμασιν ἐνθέοις,
οἱ ἐν Βόλῳ πιστοί,
τὸ σὸν λείψανον, Νικόλαε ἅγιε,
ὑποδέχονται ὡς θεῖον θησαυρόν.

Βόλου πόλις δέχου,
ἐν ὑπτίαις χερσίν,
ἱεράρχου Νικολάου τὸ λείψανον,
εἰς πιστῶν ἁγιασμὸν καὶ προκοπήν.

Γηθοσύνως ἔσχες,
Μαγνησία κλεινή,
τοῦ Μυρέων ἱεράρχου τὸ λείψανον,
ὡς ἀκένωτον πηγὴν ἁγιασμοῦ.

Δεῦτε ἡ τοῦ Βόλου,
χριστωνύμων πληθύς,
Νικολάου ὑπαντήσωμεν λείψανον,
καὶ μυρίσωμεν ψυχὰς πνευματικῶς.

Ἐν τῷ περιλάμπρῳ,
καὶ πανσέπτῳ ναῷ,
τῷ ἐν Βόλῳ, Ἱεράρχα Νικόλαε,
σὺ εὑρίσκῃ ἐφεξῆς σωματικῶς.

Ζῇς καὶ μετὰ πότμον,
ὦ Μυρέων ποιμήν,
οἱ γὰρ δίκαιοι, ὡς ἔφη ὁ Κύριος,
εἰς αἰῶνας ζῶσιν ἐν τοῖς οὐρανοῖς.

www.tezaurliturgic.ro

Ἡ τῶν Μύρων ἔχει,
παροικία τὸν σόν,
τάφον, Πάτερ, δὲ ἡμεῖς πεπλουτήκαμεν,
σῆς ἁγίας δεξιᾶς μέρος σεπτόν.

Θαυμαστὸς ἐν βίῳ,
ὤφθης, Πάτερ κλεινέ·
δεῖξον οὖν καὶ τοῖς ἐν Βόλῳ τεκνίοις σου,
τῶν θαυμάτων τὴν ἐνέργειαν πολλήν.

Ἱεράρχα θεῖε,
τὸν Δεσπότην Χριστόν,
ἐξιλέου τοῖς ἀεὶ ἁμαρτάνουσιν,
ἀλλὰ θέλουσι τὸ ἔλεος Αὐτοῦ.

Κρόκων ἡδυπνόων,
καὶ ἀνθέων τερπνῶν,
τὴν ὀσμὴν ἡ εὐωδία λειψάνου σου,
ὑπερβαίνει, ὦ Νικόλαε, πολύ.

Λύτρωσαι τοῦ βρόχου,
ἁμαρτίας ἡμᾶς,
ὥς ποτε τοὺς αἰχμαλώτους διέσωσας,
ὦ Νικόλαε, ταῖς θείαις σου εὐχαῖς.

Μὴ ὀργίζου, Πάτερ,
καθ᾽ ἡμῶν τῶν πτωχῶν,
τῶν λυπούντων καθ᾽ ἑκάστην τὸν Κύριον,
ἀλλὰ δὸς ἡμῖν βαλεῖν ἀρχήν.

Νίκας δίδου πᾶσι,
κατ᾽ ἐχθρῶν δυσμενῶν,
ὦ Νικόλαε, τῇ θείᾳ πρεσβείᾳ σου,
καὶ ἐν θλίψει τῶν δεινῶν ὑπομονήν.

Ξένωσον κακίας,
τοὺς τιμῶντας πιστῶς,
τὴν σὴν μνήμην, ἱεράρχα Νικόλαε,
ὁ φιλόψυχος τῶν ξένων ὁδηγός.

῞Οπλοις τῶν εὐχῶν σου,
δυσμενῶν τὰς ὁρμάς,
συγκατάκοψον, Νικόλαε ἔνδοξε,
καὶ εἰρήνην δίδου πᾶσι τοῦ Χριστοῦ.

Παῦσον τρικυμίας,
τοῦ πελάγους ζωῆς,
καὶ γαλήνην ταῖς ψυχαῖς δός, Νικόλαε,
ὁ πλεόντων ἀσφαλέστατος λιμήν.

Ῥύου τῶν κινδύνων,
καὶ τοῦ βίου δεινῶν,
ὡς ἐῤῥύσω κινδυνεύοντας, Ἅγιε,
ἐκ θανάτου ψυχοφθόρου ἀπειλῆς.

Σκέπε πόλιν Βόλου,
ἐκ κινδύνου σεισμοῦ,
καὶ παντοίας ἀπειλῆς καὶ κακώσεως,
Ἱεράρχα τοῦ Χριστοῦ θαυματουργέ.

Τεῖχος ἐν πολέμοις,
ἔχομέν σε στεῤῥόν,
ὦ Νικόλαε, πλουτοῦντες σὸν λείψανον,
ἐξ οὗ χάριν ἀπαντλοῦμεν δαψιλῶς.

Ὑπὲρ μαργαρίτας,
καὶ χρυσοῦ θησαυρούς,
πεπλουτήκαμεν σὸν τίμιον λείψανον,
ὦ Νικόλαε, ἐν Βόλῳ οἱ πιστοί.

Φῶς γενοῦ ἐν σκότει,
τῶν πολλῶν πειρασμῶν,
ὦ Νικόλαε, ἡμῖν τοῖς τιμῶσί σε,
καὶ ἐλπίζουσι ταῖς θείαις σου εὐχαῖς.

Χέε θεῖα μῦρα,
ἐκ σῆς θήκης ἀεί,
ὦ Μυρέων Ἱεράρχα, τοῖς σέβουσι,
τὴν ἁγίαν σου καὶ πάνσεπτον μορφήν.

www.tezaurliturgic.ro

Ψώμισον πλουσίως,
τῶν πεινώντων ψυχάς,
ὡς λαοὺς λιμοῦ πολλάκις διέσωσας,
ποιμενάρχα τῶν Μυρέων, θαυμαστῶς.

Ὡς πλουτῶν τὴν χάριν,
τῶν θαυμάτων πολλήν,
μὴ ἐλλείπῃς, Ἱεράρχα Νικόλαε,
ἀδαπάνως καὶ ἡμῖν θαυματουργεῖν.

*Δόξα. Τριαδικόν.*

Πάτερ, Λόγε, Πνεῦμα,
ἡ Ἁγία Τριάς,
ταῖς πρεσβείαις Νικολάου διάσωζε,
τοὺς ἐν Βόλῳ σὲ λατρεύοντας πιστῶς.

*Καὶ νῦν. Θεοτοκίον.*

Παναγία Μῆτερ,
αἶρε χεῖρας σεπτάς.
πρὸς Υἱόν σου τὸν Φιλάνθρωπον πάντοτε,
ὑπὲρ πόλεως τοῦ Βόλου καὶ πιστῶν.

ΣΤΑΣΙΣ Β΄.
*Ἦχος πλ.α΄. Ἄξιόν ἐστιν.*

Ἄξιόν ἐστιν,
μακαρίζειν σε τὸν ἱεράρχην,
τῶν Μυρέων, πάτερ Νικόλαε,
καὶ τῆς πόλεως τοῦ Βόλου πρεσβευτήν.

Αἶνους καὶ ᾠδάς,
σοὶ προσάγομεν πανευφροσύνως,
ἐπὶ τῇ ἐλεύσει λειψάνου σου,
ἐν τῷ Βόλῳ, Ἱεράρχα θαυμαστέ.

Βόλου τοὺς πιστούς,
διαφύλαττε πάσης ἀνάγκης, Πάτερ,
εἰρηνεύων βίου τὴν θάλασσαν,

Ψώμισον πλουσίως,
τῶν πεινώντων ψυχάς,
ὡς λαοὺς λιμοῦ πολλάκις διέσωσας,
ποιμενάρχα τῶν Μυρέων, θαυμαστῶς.

Ὡς πλουτῶν τὴν χάριν,
τῶν θαυμάτων πολλήν,
μὴ ἐλλείπῃς, Ἱεράρχα Νικόλαε,
ἀδαπάνως καὶ ἡμῖν θαυματουργεῖν.

*Δόξα. Τριαδικόν.*

Πάτερ, Λόγε, Πνεῦμα,
ἡ Ἁγία Τριάς,
ταῖς πρεσβείαις Νικολάου διάσῳζε,
τοὺς ἐν Βόλῳ σὲ λατρεύοντας πιστῶς.

*Καὶ νῦν. Θεοτοκίον.*

Παναγία Μῆτερ,
αἶρε χεῖρας σεπτάς.
πρὸς Υἱόν σου τὸν Φιλάνθρωπον πάντοτε,
ὑπὲρ πόλεως τοῦ Βόλου καὶ πιστῶν.

ΣΤΑΣΙΣ Β΄.
*Ἦχος πλ.α΄. Ἄξιόν ἐστιν.*

Ἄξιόν ἐστιν,
μακαρίζειν σε τὸν ἱεράρχην,
τῶν Μυρέων, πάτερ Νικόλαε,
καὶ τῆς πόλεως τοῦ Βόλου πρεσβευτήν.

Αἶνους καὶ ᾠδάς,
σοὶ προσάγομεν πανευφροσύνως,
ἐπὶ τῇ ἐλεύσει λειψάνου σου,
ἐν τῷ Βόλῳ, Ἱεράρχα θαυμαστέ.

Βόλου τοὺς πιστούς,
διαφύλαττε πάσης ἀνάγκης, Πάτερ,
εἰρηνεύων βίου τὴν θάλασσαν,

www.tezaurliturgic.ro

ταῖς πρὸς Κύριον ἁγίαις σου εὐχαῖς.

Γνῶσιν ἀληθῆ,
τοῦ Κυρίου σὲ τιμῶσι δίδου, Πάτερ,
ὅπως πορευόμενοι ἄμωμοι,
αἰωνίου ἐπιτύχωμεν ζωῆς.

Δένδρα τῶν παθῶν,
τῷ πελέκει τῶν εὐχῶν σου κόψον,
ὥς ποτε, Νικόλαε, ἔκοψας,
τῆς Ἀρτέμιδος τὸ δένδρον θαυμαστῶς.

Ἔχων ἰσχυράν,
τῆς δεήσεως τὴν χάριν, Πάτερ,
ὑπὲρ τῶν τιμώντων σε πρέσβευε,
ὡς Κυρίου Ποιμενάρχης ἀληθής.

Ζῆλον ταῖς ψυχαῖς,
τὸν φιλόθεον κατάθες πάντων,
δι' οὗ ἐν Συνόδῳ, Νικόλαε,
κατετρόπωσας Ἀρείου τὴν ἀχλύν.

Ἦλθες ἐκ Θεοῦ,
ὦ Νικόλαε, εὐχέτης Βόλου,
διὰ τοῦ τιμίου λειψάνου σου,
ὃ τιμῶμεν ἅπαντες ἀπὸ ψυχῆς.

Θρόνους Ἰησοῦ,
τὰς καρδίας τῶν πιστῶν τοῦ Βόλου δεῖξον,
Μύρων Ἱεράρχα πανθαύμαστε,
προσκυνούντων τοῦ λειψάνου σου σορόν.

Ἵλεων ἡμῖν,
τὸν Δεσπότην δεῖξον, Πάτερ θεῖε,
τῶν ἁμαρτημάτων συγχώρησιν,
ἐξαιτούμενος δοθῆναι τῶν πολλῶν.

Κύματα δεινῶν,
ἐγειρόμενα κατὰ σῶν δούλων,
κόπασον, Νικόλαε πάντιμε,

www.tezaurliturgic.ro

ὡς εἰρήνης παροχεὺς τοῦ Ἰησοῦ.

Λῦσον τὰ δεσμά,
ἁμαρτίας τῶν εὐχῶν σου ξίφει,
καὶ αἰχμαλωσίας ἐκλύτρωσαι,
ὦ Νικόλαε, ἐχθροῦ σοὺς ὑμνητάς.

Μέγας ἐν ζωῇ,
καὶ νῦν πέλεις ὑπερμέγας, Πάτερ,
τῆς θαυματουργίας χαρίσματι,
θεραπεύων νοσημάτων τοὺς πιστούς.

Νίκη ἐκ Θεοῦ,
ἐχαρίσθης χριστωνύμοις Βόλου,
διὰ τοῦ τιμίου λειψάνου σου,
ὦ Μυρέων Ἱεράρχα θαυμαστέ.

Ξένων καὶ πτωχῶν,
ὦ Νικόλαε, εἶ ἀντιλήπτωρ,
ὅθεν πατρικῶς ἐν τῷ Οἴκῳ σου,
φιλοξένησον προστρέχοντας πιστούς.

Ὅρμον γαληνόν,
ἐν ταῖς βίου τρικυμίαις, Πάτερ,
ἔχομεν Ναόν σου τὸν ἅγιον,
καὶ προσφύγιον ἐν θλίψεσι δεινῶν.

Πλούτισον ἡμᾶς,
ἀρετῶν τῇ παγκαρπίᾳ, Πάτερ,
καὶ τοῦ ψυχικοῦ λιμοῦ λύτρωσαι,
ὡς διέσωσας Μυρεῖς πικρᾶς θανῆς.

Ῥύου τῆς φθορᾶς,
τὴν νεότητα, Πάτερ οἰκτίρμον,
ὥσπερ τῷ σοφῷ σου τεχνάσματι,
τρεῖς διέσωσας παρθένους ἀδελφάς.

Σάλον ἡδονῶν,
καὶ σαρκὸς σκοτώδη τρικυμίαν,
κόπασον, Νικόλαε ἅγιε,

www.tezaurliturgic.ro

τῷ ἐλαίῳ προσευχῆς σου πρὸς Θεόν.

Τεῖνον τὸ σὸν οὖς,
τοῖς πιστῶς σε, Πάτερ, αἰτουμένοις,
καὶ ψυχαῖς ἡμῶν τὰ συμφέροντα,
πλήρου, ἅγιε Νικόλαε, ταχύ.

Ὕψωσον ἀεί,
ὦ Νικόλαε, σὰς θείας χεῖρας,
καὶ ὡς Μωϋσῆς καθικέτευε,
ὑπὲρ πάσχοντος λαοῦ διηνεκῶς.

Φώτισον ἡμῶν,
τῆς ψυχῆς τοὺς ὀφθαλμούς, ὦ Πάτερ,
τῷ φωτὶ Χριστοῦ ἐπιγνώσεως,
πρὸς ἐπίτευξιν ζωῆς τῆς ἀληθοῦς.

Χάριν δαψιλῆ,
ἀπαντλοῦμεν ἐκ τῆς λάρνακός σου,
Μύρων Ποιμενάρχα μυρώνυμε,
Ἐλεήμονος Δεσπότου μιμητά.

Ψῦξον τῶν παθῶν,
φλογοκάμινον σεπταῖς εὐχαῖς σου,
πάτερ Ἱεράρχα Νικόλαε,
παρεχόμενος τὴν ἄνεσιν πιστοῖς.

Ὡς καλὸς ποιμήν,
καὶ ἐκμίμημα Καλοῦ ποιμένος,
πρόστηθι τοῦ Βόλου, αἰτούμεθα,
ὦ Νικόλαε κλεινὲ θαυματουργέ.

*Δόξα. Τριαδικόν.*

Ὦ σεπτὴ Τριάς,
τοῦ Μυρέων θείου Ἱεράρχου,
δέχου τὰς αἰτήσεις καὶ χάρισαι,
τῷ λαῷ σου τὰ συμφέροντα ψυχαῖς.

*Καὶ νῦν. Θεοτοκίον.*

www.tezaurliturgic.ro

Μῆτερ τοῦ Χριστοῦ,
σὺν Ποιμένι τῷ κλεινῷ Μυρέων,
δέησιν Κυρίῳ προσφέρετε,
ὑπὲρ ὅσοι ὑμᾶς μέλπομεν πιστῶς.

ΣΤΑΣΙΣ Γ΄.
*Ἦχος γ. Αἱ γενεαὶ πᾶσαι.*

Αἱ γενεαί, σε, πᾶσαι,
τῶν πιστῶν τοῦ Βόλου,
Νικόλαε, τιμῶμεν.

Ἄσμασιν ἐνθέοις,
ὡς μύροις λείψανόν σου,
Νικόλαε, τιμῶμεν.

Βόλου πόλις χαίρει,
Νικόλαε, πλουτοῦσα,
τμῆμα τῆς δεξιᾶς σου.

Γρήγορος ὑπάρχεις,
εἰς τὸ ἀκούειν, Πάτερ,
τῶν εὐλαβῶν αἰτήσεις.

Δεῦτε Μαγνησίας,
πιστοί, τὸν Ἱεράρχην,
τιμήσωμεν Μυρέων.

Ἐκ τῆς Ἰταλίας,
ἐλήλυθε τρισμάκαρ,
Νικόλαε, ἡ χείρ σου.

Ζῆλον τοῦ Κυρίου,
ψυχαῖς ἡμῶν κατάθες,
Νικόλαε, εὐχαῖς σου.

Ἤνεγκας ὡς δῶρον,
τῷ Βόλῳ λείψανόν σου,
ὅπερ πιστῶς τιμῶμεν.

www.tezaurliturgic.ro

Θεῖε Ἱεράρχα,
Νικόλαε Μυρέων,
τὴν Μαγνησίαν φρούρει.

Ἱεροπρεπῶς σε,
ἀνευφημοῦμεν ὕμνοις,
καὶ στάσει ἐννυχίῳ.

Κράτει ἐν τῷ σάλῳ,
βιοτικῶν κυμάτων,
τὸ πλοῖον ἡμῶν, Πάτερ.

Λῦσον ἁμαρτίας,
δεσμὸν ψυχὰς βαροῦντα,
μαχαίρᾳ τῶν εὐχῶν σου.

Μὴ ἐάσῃς, Πάτερ,
Νικόλαε, σοὺς δούλους,
ἐν τρικυμίαις βίου.

Νίκην ἡμῖν δίδου,
κατὰ παθῶν ποικίλων,
νικώνυμε τρισμάκαρ.

Ξένους ἁμαρτίας,
Νικόλαε, σὰ τέκνα,
δεῖξον ταῖς σαῖς πρεσβείαις.

Οὐράνιον εἰρήνην,
παράσχου τοῖς ἐκ ζάλης,
τῶν πειρασμῶν, ὦ Πάτερ.

Πενήτων ὀρφανῶν τε,
προστάτευε ὡς πάλαι,
Νικόλαε Μυρέων.

Ῥευμάτων τῶν σῶν μύρων,
πλήρωσον τὰς καρδίας,
ὦ Ἱεράρχα θεῖε.

www.tezaurliturgic.ro

Σπεῦσον τάχει, Πάτερ,
καὶ ῥῦε ἐκ κινδύνων,
τοὺς σὲ ἐξαιτουμένους.

Τὰς τρικυμιώδεις,
τοῦ βίου περιστάσεις,
κατάπαυε σῶν δούλων.

Ὕψωσον τὰς χεῖρας,
Ποιμὴν Χριστοῦ, καὶ αἴτει,
ἡμῖν τὴν σωτηρίαν.

Φῶς Χριστοῦ χορήγει,
τοῖς ἐκ τοῦ σκότους βίου,
πεπλανημένοις, Πάτερ.

Χάριν χρεωστοῦμεν,
σοί Πάτερ, ὑπὲρ πάντων,
ὧν φιλοτέκνως δίδως.

Ψώμισον ἐν πείνῃ,
πνευματικῇ σὰ τέκνα,
Χριστοῦ τῷ θείῳ Ἄρτῳ.

Ὡς προστάτης Βόλου,
καὶ πολιοῦχος δέχου,
Νικόλαε, τοὺς ὕμνους.

*Δόξα. Τριαδικόν.*

Θείου Νικολάου,
πρεσβείαις, Πάτερ, Λόγε,
καὶ Πνεῦμα, σῶσον κόσμον.

*Καὶ νῦν Θεοτοκίον.*

Σὺν τῷ Ἱεράρχῃ,
τῶν Μύρων, Θεοτόκε,
Χριστὸν ἐκδυσωπεῖτε.

www.tezaurliturgic.ro

## ΕΥΛΟΓΗΤΑΡΙΑ

*Ἦχος πλ.α΄.*

*Εὐλογητὸς εἶ, Κύριε, ὁ δοξάσας Νικόλαον τὸν θεῖον.*

Χριστωνύμων τὰ πλήθη,
ὡς Ἀγγέλων χορεῖαι,
ἐν τῷ Βόλῳ συνῆλθον,
τοῦ λειψάνου τοῦ σεπτοῦ,
Ἱεράρχου Μυρέων,
τὴν ὑποδοχήν,
ἔνδακρεις ποιούμενοι,
καὶ Δεσπότην,
ἐκ ψυχῆς δοξάζοντες.

*Εὐλογητὸς εἶ, Κύριε, ὁ δοξάσας Νικόλαον τὸν Μύρων.*

Τί ὡς μύρα,
θείους ὕμνους ᾄδετε,
ὦ χοροὶ τῶν ὑμνολόγων;
Ἱεράρχου,
τῶν Μυρέων σήμερον,
ἐκδεξάμενοι τμῆμα λειψάνου,
ἔχοντες λοιπόν,
τοῦτο ἀσπασώμεθα,
ὅπως χάριν,
τοῦ Πνεύματος δεξώμεθα.

*Εὐλογητὸς εἶ, Κύριε, ὁ δοξάσας Νικόλαον ἐν μύροις.*

Λίαν θερμῶς,
τῆς ψυχῆς τὰ ὄργανα,
οἱ φιλάγιοι ἐκκαθαρθῶμεν,
ἵνα πάντες,
τὴν φωνὴν ἀκούσωμεν Δεσπότου,
λέγοντος ἡμῖν·
δεῦτε προσκυνήσατε,
Ἱεράρχου,
ἐμοῦ τὸ θεῖον λείψανον.

www.tezaurliturgic.ro

# ΕΥΛΟΓΗΤΑΡΙΑ

*Ἦχος πλ.α΄.*

*Εὐλογητὸς εἶ, Κύριε, ὁ δοξάσας Νικόλαον τὸν θεῖον.*

Χριστωνύμων τὰ πλήθη,
ὡς Ἀγγέλων χορεῖαι,
ἐν τῷ Βόλῳ συνῆλθον,
τοῦ λειψάνου τοῦ σεπτοῦ,
Ἱεράρχου Μυρέων,
τὴν ὑποδοχήν,
ἔνδακρεις ποιούμενοι,
καὶ Δεσπότην,
ἐκ ψυχῆς δοξάζοντες.

*Εὐλογητὸς εἶ, Κύριε, ὁ δοξάσας Νικόλαον τὸν Μύρων.*

Τί ὡς μύρα,
θείους ὕμνους ᾄδετε,
ὦ χοροὶ τῶν ὑμνολόγων;
Ἱεράρχου,
τῶν Μυρέων σήμερον,
ἐκδεξάμενοι τμῆμα λειψάνου,
ἔχοντες λοιπόν,
τοῦτο ἀσπασώμεθα,
ὅπως χάριν,
τοῦ Πνεύματος δεξώμεθα.

*Εὐλογητὸς εἶ, Κύριε, ὁ δοξάσας Νικόλαον ἐν μύροις.*

Λίαν θερμῶς,
τῆς ψυχῆς τὰ ὄργανα,
οἱ φιλάγιοι ἐκκαθαρθῶμεν,
ἵνα πάντες,
τὴν φωνὴν ἀκούσωμεν Δεσπότου,
λέγοντος ἡμῖν·
δεῦτε προσκυνήσατε,
Ἱεράρχου,
ἐμοῦ τὸ θεῖον λείψανον.

*Εὐλογητὸς εἶ, Κύριε, ὁ δοξάσας Νικόλαον τὸν μέγαν.*

Χριστοφόρων τὰ πλήθη,
μετὰ πόθου ἐλθόντα,
πρὸς τὸν οἶκόν σου,
θεῖε Ἱεράρχα,
ποθοῦντα τρανῶς,
προσεγγίσαι λειψάνῳ,
σοῦ τοῦ ἱεροῦ,
καὶ λήψεσθαι ἄφθονον,
θείαν χάριν,
ἣν παρέχεις, Νικόλαε.

*Δόξα Πατρί. Τριαδικόν.*

Προσκυνοῦμεν Τριάδα,
οἱ πιστοὶ ὀρθοδόξως,
καὶ Ἁγίων τοὺς δήμους,
οὓς ἐδόξασεν Αὕτη,
ἀπ᾽ ἀρχῆς τῶν αἰώνων,
καὶ ἡμῖν αὐτούς,
πρέσβεις ἀναδείξασα,
μεθ᾽ ὧν ὕμνον,
ᾄδομεν τρισάγιον.

*Καὶ νῦν. Θεοτοκίον.*

Δευτερεῖα Τριάδος,
σχοῦσα Μῆτερ Παρθένε,
τῶν πιστῶν εἶ προστάτις·
ὅθεν δέχου δεήσεις,
εὐσεβῶς αἰτουμένων,
καὶ πρὸς τὸν Θεόν,
Ἄχραντε, προσάγαγε,
συνεργοῦσα,
τῇ σωτηρίᾳ τέκνων σου.

*Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός(ἐκ γ΄.)*